www.tezaurliturgic.ro

ΠΡΩΤΟΠΡΕΣΒΥΤΕΡΟΥ
**ΧΑΡΑΛΑΜΠΟΥ Κ. ΚΑΜΗΛΑΚΗ**
ΘΕΟΛΟΓΟΥ - ΦΙΛΟΛΟΓΟΥ ΚΑΘΗΓΗΤΟΥ
ΔΙΔΑΚΤΟΡΟΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

# Η ΑΓΙΑ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΒΑΡΒΑΡΑ

## ΠΟΛΙΟΥΧΟΣ ΡΕΘΥΜΝΟΥ

**ΡΕΘΥΜΝΟ 2004**

www.tezaurliturgic.ro



## ΔΕΚΕΜΒΡΙΟΥ Δ'

# ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΒΑΡΒΑΡΑΣ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ*

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β'. Τριήμερος ἀνέστης.

Βαρβάρας τῆς ἁγίας πιστῶς, τὴν μνήμην ἐκτελέσωμεν, ἐκβοῶντες· Ἀθληφόρε τοῦ Χριστοῦ, διάσωσον εὐχαῖς σου, κινδύνων τε καὶ νόσων, τοὺς τῷ ναῷ σου καταφεύγοντας.

Τῷ πόθῳ θελγομένη Χριστοῦ, βασάνων κατεφρόνησας, καὶ τοῦ βίου ὦ Βαρβάρα τὰ τερπνά, παρέδραμες ὡς ὄναρ· διὸ κατηξιώθης, τῆς γλυκυτάτης ἀπολαύσεως.

Ἀστόργου, ὦ Βαρβάρα, πατρός, χερσὶ ἀμνάς ὡς ἄμωμος, κατεσφάγης καὶ θυσία καθαρά, προσήχθης τῷ Κυρίῳ, ᾧ πρέσβευε ἀπαύστως, χάριν δοθῆναι τοῖς τιμῶσί σε.

Τοῦ θήλεος τὸ χαῦνον σεμνή, οὐδόλως σε ἐκώλυσε, τῶν βασάνων ὑπελθεῖν τὸ ἀλγεινόν, ἐν αἷς μάρτυς Βαρβάρα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὡς καρτερόφρων ἐταπείνωσας.

Δόξα Πατρί. Ἦχος α'.

* *Ἡ Ἀκολουθία τοῦ Μικροῦ Ἑσπερινοῦ ἐλήφθη ἀπὸ τὸ βιβλίο τοῦ ἀρχ. Κυρίλλου Ἰω. Κογεράκη, νῦν Μητροπολίτου Ρόδου, Ἀσματικαί Ἀκολουθίαι ἤτοι Βίβλος περιέχουσα τριάκοντα καὶ δύο Ἀκολουθίας τῶν ἐν χρήσει Μηναίων, συμπληρωθείσας καὶ ἐπαυξηθείσας, Τόμος Α', Ἔκδοσις Ἱερᾶς Μονῆς Ἀγκαράθου, Ἡράκλειον 2002, σσ. 143 - 144.*



Μάρτυς Βαρβάρα ἀήττητε, ὡς τῆς γῆς τὰ ἡδέα παρωσαμένη, καὶ συντονώτατον δρόμον μαρτυρίου δραμοῦσα, εἰς τῆς ζωῆς τὸν νυμφῶνα εἰσελήλυθας, ἔνθα αἰωνίως ἀγάλλεσαι, μετὰ τῶν παρθένων ἐκείνων τῶν φρονίμων. Ὅθεν τοὺς τελοῦντας τὴν μνήμην σου, ἀπὸ παντοίων διάσωσον κακῶν, καὶ ῥῦσαι τῆς μανίας τοῦ δράκοντος, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε, τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Χώραν θείας ζωῆς, ἀξίως ἐμβατεύεις, Χριστὸν δοξολογοῦσα, τὸν ποθητὸν νυμφίον, Βαρβάρα τῆς καρδίας σου.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Πίστει τῇ εἰς Χριστόν, στερρῶς ἐρηρεισμένη, ἀκλόνητος ὡς πύργος, Βαρβάρα διεκρούσω, τὸν σάλον τῶν κολάσεων.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Χαίρουσα εἰς αὐλάς, Βαρβάρα οὐρανίους, λαμπρῶς αὐλιζομένη, ὑπὲρ ἡμῶν δυσώπει, Θεὸν τὸν πανοικτίρμονα.

Δόξα Πατρί. Τριαδικόν.

Κράτει σου τῷ σεπτῷ, Τριὰς Ὑπεραγία, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Βαρβάρα μαρτυρίου, τὸ στάδιον ἐτέλεσε.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Ἔρωτι τοῦ ἐκ σοῦ, ἀφράστως γεννηθέντος, Παρθένε ἡ Βαρβάρα, ἐνήθλησεν ἀνδρείως, πατρὸς χερσὶ φονόεσσαις.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ*

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὴν α' στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ἁγίας γ' καὶ ἕτερα γ'.*

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅτε ἐν σταδίῳ τῷ φρικτῷ, Ἰουλιανὴ διεσκόπει ἡ παμμακάριστος, Μάρτυρα τὴν ἔνδοξον, Βαρβάραν μάστιξιν, ἐναθλοῦσαν βασάνοις τε, ποικίλοις τὸ σῶμα, ἅπαν

** Ἡ παροῦσα Ἀκολουθία τοῦ Μεγάλου Ἑσπερινοῦ, ὅπως καὶ ἡ Ἀκολουθία τῆς Λιτῆς καὶ τοῦ Ὄρθρου, συνετέθη σὲ συνδυασμὸ μὲ τὴν Ἀκολουθία τοῦ ἐν χρήσει Μηναίου τῆς μνήμης της Ἁγίας Βαρβάρας, τὴν χειρόγραφη Ἀκολουθία τοῦ Ἱεροθέου Μπραουδάκη, τὴν Ἀκολουθία τῆς Ἁγίας ὡς ἔχει στὸ βιβλίο "Ἀσματικαὶ Ἀκολουθίαι"..., τοῦ ἀρχ. Κυρίλλου Ἰ. Κογεράκη, νῦν Μητροπολίτου Ρόδου, ὅπως ἐπίσης καὶ μὲ τὶς Ἀκολουθίες:*

*- Ἐμμανουὴλ Ἰ. Καρπαθίου (+) Μητροπολίτου Κώου: Ἡ Ἁγία Μεγαλομάρτυς Βαρβάρα.*

*- Παντελεήμονος Μ. Σταματογιαννάκη, Ἁγία Βαρβάρα, Παλαιοῦ Φαλήρου.*

*- Ἐπισκόπου Χριστουπόλεως Πέτρου, Ἡ Ἁγία Βαρβάρα, βίος, φρικτὸ Μαρτύριο, παρακλητικός κανών.*

*- Χαρᾶς Α. Αγγέλου, Βαρβάρα ἡ ἀγαπημένη τοῦ λαοῦ.*

*- Ἱεροῦ ναοῦ Ἁγίας Βαρβάρας Δάφνης, Ἱστορικὸ τοῦ ἱεροῦ ναοῦ, βίος, ἀσματικὴ Ἀκολουθία καὶ Παρακλητικός κανών.*

** Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας ψάλλονται ἀναστάσιμα Στιχηρὰ τοῦ ἤχου τῆς ἑβδομάδος δ' καὶ τῆς Ἁγίας στ'. Δόξα τῆς Ἁγίας. Καὶ νῦν τὸ Θεοτοκίον τοῦ ἤχου.*



συγκοπτόμενον, θερμοῖς τοῖς δάκρυσι, Λόγε τοῦ Θεοῦ ἀνεβόα, ταύτης κοινωνὸν με γενέσθαι, ἄρτι καταξίωσον φιλάνθρωπε.

Μίαν ἡ Βαρβάρα ἀληθῶς, Ἰουλιανή τε τὴν γνώμην, πρὸς τὴν εὐσέβειαν, ἔχουσαι αἱ Ἅγιαι κατηγωνίσαντο, τοῦ ἐχθροῦ· καὶ νικήσασαι αὐτὸν κατὰ κράτος, δόξης ἠξιώθησαν, παρὰ Χριστοῦ τοῦ Θεοῦ· ὅθεν, λοιμικῶν παθημάτων, λώβην ἀφανίζουσαι πᾶσι, τοῖς πιστοῖς παρέχουσιν ἰάματα.

Ὅτε ἀπεφάνθη κατὰ σοῦ, Μάρτυς σεμνοτάτη Βαρβάρα, ὁ γλυκὺς θάνατος, χαίρουσα καὶ σπεύδουσα, τὸν δρόμον ἤνυσας· ἀσεβοῦς δὲ γεννήτορος, χερσὶ παρανόμοις, τέθυσαι καὶ κάρπωμα, Θεῷ προσηνέξαι· ὅθεν, ταῖς φρονίμοις Παρθένοις, ὄντως συγχορεύουσα βλέπεις, Χριστοῦ τοῦ νυμφίου σου τὴν ἔλλαμψιν.

Προσόμοια ἕτερα. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Παρθενίας τοῖς κάλλεσι, μυστικῶς διαλάμπουσα, μαρτυρίου ἔδραμες πρὸς τὸ στάδιον, ἐν ᾧ Βαρβάρα ἀοίδιμε, τῷ πάλαι πτερνίσαντι, τὴν προμήτορα ἐχθρῷ, προσπλακεῖσα ἠρίστευσας, καὶ αἰώνιον, νίκης τρόπαιον ἦρας καὶ ἐστέφθης, δεξιᾷ τῇ ζωηφόρῳ θείας ζωῆς διαδήματι.

Ἀνδρικῶς στερεώσασα, ἀσθενὲς τὸ τοῦ θήλεος, ἐν τῇ πίστει ἔνδοξε τοῦ Νυμφίου σου, γλώσσῃ λαμπρᾷ ὡμολόγησας, Τριάδα τὴν ἄκτιστον, ὑπὲρ ἧς τοὺς φλογισμούς, καταξέσεις τε μάστιγας, καὶ τὸν θάνατον, ὑπομείνασα ξίφει, ὦ Βαρβάρα, ἐκοινώνησας τῆς ἄνω, ὑπερφυοῦς ἀπολαύσεως.

Μηδαμῶς δειλανδρήσασα, πρὸς βασάνους τοῦ σώματος, ὡς ῥωσθεῖσα χάριτι Θείου Πνεύματος, χερσὶ ἀστόργου γεννήτορος, Βαρβάρα ὑπήνεγκας, κεφαλῆς τὴν ἐκτομήν, καὶ ἐξήνθησας βλάστημα, ἱερώτατον, πονηρᾶς τε ἐκ ῥίζης παραδόξως, ἐσαεὶ εὐωδιάζον, τῆς Ἐκκλησίας τὸ πλήρωμα.

www.tezaurliturgic.ro



Δόξα Πατρί. Ἦχος πλ. δ'. Ποίημα Ἱεροθέου Μπραουδάκη.

Ὁ τῶν ἀνάκτων ἄναξ καὶ Θεὸς ὁ πλουσίαις δωρεαῖς κατακοσμῶν τοὺς ἀξίους, αὐτὸς Σέ, Βαρβάρα πολύαθλε, μαρτυρικῷ στέφει ἐπαξίως ἐστέψατο, διὸ καὶ ἡμεῖς σήμερον ἐν τῷ Ναῷ Σου συνερχόμενοι χρεωστικῶς τὴν μνήμην Σου ἑορτάζομεν οὕτω λέγοντες· Ἀπάλλαξον τὴν Σὲ μεγαλύνουσαν Πόλιν, καλλιπάρθενε Κόρη πάσης θλίψεως καὶ νόσου, ἱκετεύουσα ἀπαύστως δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου....

Εἴσοδος. Φῶς ἱλαρὸν... τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ', 9 - 14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν.

Τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τὶς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς· ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτὸ; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.



Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. λα', 10 - 25).

Γυναῖκα ἀνδρείαν τὶς εὑρήσει; Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς ἐπὶ τὸ ἔργον. Ἐγεύσατο ὅτι καλὸν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ', 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro



ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα. Ποίημα Ἱεροθέου Μπραουδάκη.

Ἦχος α΄.

Ἀγῶνα τὸν καλὸν ἠγωνίσω Μάρτυς Χριστοῦ Βαρβάρα, καὶ νῦν μετ' Ἀγγέλων χορεύουσα ἐν οὐρανοῖς τοὺς τὴν μνήμην Σου ἐπιτελοῦντας πάσης νόσου περίσωζε, πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ὡς ἀλάβαστρον μύρον, τὸ αἷμὰ Σου προσενήνοχας τῷ Σῷ νυμφίῳ Χριστῷ Βαρβάρα ἀθληφόρε, ἀήττητε, ἀντάμειψων δὲ ἡμᾶς στέφος ἄφθαρτον παρ' αὐτοῦ ἀξιωθαύμαστε· ὅθεν καὶ χάριν εἴληφας τοὺς πιστοὺς ἀπάλλαξον ἀπὸ πάσης νόσου καὶ πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δεῦτε πάντες οἱ πιστοὶ τὴν Καλλιπάρθενον Μάρτυρα ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν, καὶ πρὸς αὐτὴν μετὰ πίστεως ἐκβοήσωμεν· Βαρβάρα πανεύφημε περίσωζε τὴν Σὲ μεγαλύνουσαν Πόλιν πάσης φθοροποιοῦ νόσου καὶ πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Τῷ ἀΰλῳ θρόνῳ παρισταμένη μάρτυς Χριστοῦ Βαρβάρα, ὡς τῆς ἀπροσίτου δόξης κατατρυφοῦσα, μέμνησο τῶν τιμώντων τὴν θείαν σου ἄθλησιν καὶ δειμαμένων τὸν περικλειτὸν τοῦτον Ναὸν Σου· πρεσβεύουσα ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν μάρτυς καλλιπάρθενε.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Δεῦτε παῖδες Ῥεθύμνης Βαρβάραν τὴν Μάρτυρα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, πνευματικοῖς ἐγκωμίοις σήμερον καταστέψωμεν· καὶ πρὸς αὐτὴν μελῳδικῶς μετὰ πίστεως ἐκβοήσωμεν. Χαίροις ἡ τοῦ πατρὸς τὴν ἀσέβειαν μισήσασα καὶ τὴν ἀγάπην τοῦ Χριστοῦ ὑπὲρ πάντα τοῦ κόσμου τὰ τερπνὰ



προτιμήσασα, χαίροις ἡ τὴν χάριν τῶν θαυμάτων πλουτίσασα, καὶ τοὺς ἀξίους πάσης νόσου ἀπαλλάττουσα, ἀλλ' ὦ παρθένων ἀγλάϊσμα, καὶ Μαρτύρων ἐγκαλλώπισμα, μὴ παύσῃς πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν Σε....

Εἰς τὰ Ἀπόστιχα τῆς Ἁγίας Βαρβάρας*

Ἦχος πλ. δ΄

Ὢ τοῦ παραδόξου θαύματος. Ποίημα Ἱεροθέου Μπραουδάκη

Μάρτυς Βαρβάρα πανεύφημε, Σὲ δυσωποῦμεν πιστῶς, ἡμᾶς πάντας περίσωζε, τοὺς ἀνακαινίσαντας τὸν Ναὸν Σου τὸν ἅγιον καὶ προσιόντας τῇ θείᾳ σκέπῃ Σου, σῶζε πρεσβείαις Σου, καὶ πταισμάτων ἄφεσιν παρὰ Θεοῦ αἴτησαι καὶ λύτρωσιν καὶ μέγα ἔλεος.

Στίχ. Θαυμαστός ὁ Θεός...

Μάρτυς Βαρβάρα πανένδοξος, τὰς οὐρανίους μονάς, ἐπαξίως οἰκήσασα, σὺν Παρθένων Τάγμασι καὶ μαρτύρων στρατεύμασι, τοὺς ἐκτελοῦντας πίστει τὴν μνήμην Σου καὶ προσιόντας πιστῶν τῇ σκέπῃ Σου, σώζαι πρεσβείαις Σου, καὶ πταισμάτων ἄφεσιν παρὰ Χριστοῦ αἴτησαι καὶ λύτρωσιν καὶ μέγα Ἔλεος.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Μάρτυς Βαρβάρα πανεύφημε, οὔτε βασάνων τὸ πῦρ, οὐ τρυφῆς ἡ ἀπόλαυσις, οὐ τοῦ κόσμου χάριτες, οὔτε ἄνθος νεότητος τῆς πρὸς Χριστὸν ἀγάπης ἐχώρησεν, ἐφιεμένων τῆς ὡραιότητος τῆς ὑπὲρ ἔννοιαν τοῦ σεπτοῦ νυμφίου Σου ἐπιτυχεῖν, ἧς περ κατηξίωσαν, Θεομακάριστη.

*Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας ψάλλονται τὰ ἀναστάσιμα Στιχηρὰ τοῦ ἤχου τῆς ἑβδομάδος. Δόξα τῆς Ἁγίας. Καὶ νῦν τὸ Θεοτοκίον τοῦ ἤχου.

www.tezaurliturgic.ro



Ἕτερα. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ἀγαλλομένῃ καρδίᾳ καὶ σταθερῷ λογισμῷ, πρὸς τοὺς ἀγῶνας Μάρτυς, ηὐτομόλησας ὄντως, μὴ πλήξασα βασάνων τὰ ἀλγεινά, οὐ τὸν βίαιον θάνατον, ὅθεν Βαρβάραν ἀθλήσασαν ἀνδρικῶς, ἐστεφάνωσεν ὁ Κύριος.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Καρτερικῶς ταῖς λαμπάσι φλογιζομένη σεμνή, καὶ ταῖς πληγαῖς τὰ νῶτα συντριβόμενα Μάρτυς, ἔτλης, ὦ Βαρβάρα, βοῶσα Χριστῷ, τῆς σῆς ἀγάπης, Νυμφίε μου, οὐ πῦρ χωρίσει οὐ θάνατος, οὐ ζωή, οὐδὲ πᾶσα ἄλλη βάσανος.

Στίχ. Καὶ ἔστησαν ἐπὶ πέτραν τοὺς πόδας μου...

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου χοροβατοῦσα σεμνή, ἅμα παρθένοις μάρτυς, ταῖς φρονίμοις ἐκείναις, εἴληφας ἐκεῖθεν, Βαρβάρα σοφή, τοῦ ἰᾶσθαι νοσήματα, καὶ ἐκδιώκειν τε πνεύματα μυσαρά, ἐκ τῶν πίστει προσιόντων σοι.

Δόξα. Πατρί. Ἦχος πλ. β'.

Πατρίδα, γένος, ὕπαρξιν, καταλιποῦσα, Βαρβάρα, καὶ τὸν ἀσεβῆ πατέρα μισήσασα, Θεὸν ἠγάπησας· ᾧ ἐνυμφεύθης καὶ γέγονας μεγαλέμπορος κληθεῖσα. Αὐτὸν ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν πρέσβευε Δέσποινα, μετὰ τῆς ἀθληφόρου καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὰ Ἀπολυτίκια.



**Ἀπολυτίκια***

Ἀπολυτίκιον ἦχος πλ. α'. Ποίημα Ἱεροθέου Μπραουδάκη.

Τὸν συνάναρχον λόγον.

Δεῦτε παῖδες Ῥεθύμνης ὕμνοις τιμήσωμεν τὴν πανεύφημον νύμφην Χριστοῦ καὶ μάρτυρα, τὴν ἀντίληψιν ἡμῶν καὶ βοήθειαν, ἐκβοῶντες πρὸς αὐτὴν μετὰ πίστεως θερμῆς, Βαρβάρα Χριστοῦ ἁγία, πρεσβεύουσα μὴ ἐλλίπῃς ὑπὲρ τῶν δεδμημένων τὸ ἱερὸν Σου τοῦτο τέμενος.

Ἦχος δ'.

Βαρβάραν τὴν ἁγίαν τιμήσωμεν· ἐχθροῦ γὰρ τὰς παγίδας συνέτριψε, καὶ ὡς στρουθίον ἐῤῥύσθη ἐξ αὐτῶν, βοηθείᾳ καὶ ὅπλῳ τοῦ Σταυροῦ ἡ πάνσεμνος.

Θεοτοκίον τοῦ ἤχου καὶ Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τὴν α' Στιχολογίαν. Καθίσματα τῆς Ἁγίας

Ἦχος γ'. Τὴν ὡραιότητα.

Ἐν τῇ ἀθλήσει σου πάντας ἐξέπληξας, ὅτι ὑπέμεινας τὰς τῶν τυράννων πληγάς, δεινά, βασάνους, φυλακάς, Βαρβάρα παναοίδιμε. Ὅθεν καὶ τὸν στέφανον ὁ Θεὸς σοι δεδώρηται, ὅν περ ἐπεπόθησας ψυχικῶς καὶ προσέδραμες. Αὐτὸς καὶ τὰς ἰάσεις παρέχει, πᾶσι τοῖς πίστει προσιοῦσι σοι.

* *Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας προηγεῖται τὸ ἀναστάσιμον Ἀπολυτίκιον τοῦ ἤχου τῆς ἑβδομάδος.*

www.tezaurliturgic.ro



Δόξα καὶ νῦν. Θεοτοκίον.

Τὸν ἀκατάληπτον καὶ ἀπερίγραπτον, τὸν ὁμοούσιον Πατρὶ καὶ Πνεύματι, ἐν τῇ γαστρί σου μυστικῶς ἐχώρησας Θεομῆτορ. Μίαν καὶ ἀσύγχυτον τῆς Τριάδος ἐνέργειαν, ἔγνωμεν τῷ τόκῳ σου ἐν τῷ κόσμῳ δοξάζεσθαι. Διὸ καὶ εὐχαρίστως βοῶμέν σοι, χαῖρε ἡ Κεχαριτωμένη.

Μετά τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς παρθενίας κοσμουμένη σφραγῖδι, καὶ λαμπομένη μαρτυρίου ἀγῶσι, δι' ἑκατέρων πάνσεμνε διέπρεψας καλῶς. Ὅθεν ὁ Νυμφίος σε, ἀκηράτῳ στεφάνῳ, εὐκλεῶς κατέστεψε καλλιμάρτυς Βαρβάρα· ὅν ἐκδυσώπει πάντοτε ἡμῖν, πταισμάτων λύσιν διδόναι ὡς εὔσπλαχνος.

Δόξα Πατρὶ. Ὁ αὐτὸς. Ταχὺ προκατάλαβε.

Τριάδα τὴν ἄκτιστον, ὁμολογοῦσα τρανῶς, βασάνων ὑπήνεγκας, τὰς ἀνυποίστους πληγὰς, καὶ ἤθλησας ἄριστα. Ὅθεν αἵματα προῖκα, τῷ Χριστῷ ἐνεγκοῦσα, νύμφη αὐτοῦ ἐδείχθης, καλλιμάρτυς Βαρβάρα, ᾧ πρέσβευε ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ῥοαῖς τοῦ ἐλέους σου, ὡς τοῦ ἐλέους πηγὴ, ἀπόπλυνον δέομαι, τὴν ῥυπωθεῖσαν ψυχὴν, Ἁγνὴ τοῦ οἰκέτου σου, ἵνα ἐν κατανύξει, καὶ συνέσει καρδίας. Δέσποινα μεγαλύνω τὴν φρικτὴν σου λοχείαν, δι' ἧς τῆς καταδίκης, Ἀδάμ ἠλευθέρωμαι.



Μετὰ τὸν Πολυέλαιον. Τὸν τάφον Σου Σωτήρ.
Ποίημα Ἱεροθέου Μπραουδάκη.

Μολοῦσα εὐθαρσῶς, πρὸς ἀγῶνας Τρισμάκαρ, ἀνδρείως τὸν Χριστὸν ὡμολόγησας, Μάρτυς, Πατέρα τε ἤλεγξας, δυσσεβῆ καὶ παράφρονα, καὶ κατῄσχυνας τοῦ Διαβόλου τὴν πλάνην, καὶ ἀνέδραμες εἰς οὐρανίους σκηνώσεις· διὸ Σε δοξάζομεν.

Δόξα.... Καὶ νῦν ... Θεοτοκίον. Ὅμοιον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς βάθη, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.
Προκείμενον. Ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Τὸ, Πᾶσα πνοή...

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις....

(Ζήτει αὐτὸ τῷ ιζ' Σαββάτῳ Ματθαίου).

Ὁ Ν' Ψαλμός.

Δόξα... Ταῖς τῆς Ἀθληφόρου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Εἶτα τὸ Ἰδιόμελον.

Ἦχος πλ. β'. Ἰωάννου Μοναχοῦ.

www.tezaurliturgic.ro



Ἀθλητικὴν ὁδεύσασα ὁδόν, προγονικὴν ἐξέφυγες βουλήν, Βαρβάρα πανσεβάσμιε· καὶ ὡς μὲν παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες, εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες ἰατρεύειν, τῆς σαρκὸς σαθρὰν λύμην. Ἀλλὰ καὶ ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐκλύτρωσαι, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα οἱ Κανόνες τῆς Θεοτόκου καὶ τῆς Ἁγίας.*

Ὠδὴ α'.

Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω σωτηρίαν ἐπιζητῶν, ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Κανὼν τῆς Ἁγίας. Ποίημα Στεφάνου Σαββαΐτου.

Ὠδὴ α'.

* *Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, προηγεῖται ὁ ἀναστάσιμος Κανὼν τοῦ ἤχου τῆς ἑβδομάδος.*



Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

Ὦ Τριὰς ὑπέρθεε Σεπτή, ἡ τῶν ὑπὲρ ἔννοιαν, τὴν δωρεὰν σοῖς ἱκέταις βραβεύουσα, φωτοφόρον ἔμπνευσον, τῇ ζοφώδει μου διανοίᾳ ἀμάρυγμα, τὴν σὴν εὐφημῆσαι μάρτυρα, Βαρβάραν τὴν ἀοίδιμον.

Ἐγκωμίων ἅπαντα θεσμόν, ὄντως ὑπερβέβληκε, τῶν σῶν μαρτύρων ἡ δόξα φιλάνθρωπε, ἀλλὰ τὸ ἐκ πίστεως, κατὰ δύναμιν δεδεγμένος ἐφύμνιον, ἀντικαταπέμποις, Δέσποτα πλουσίως τὴν ἀντίδοσιν.

Ἀκανθώδους ῥίζης ἐκφυὲν ῥόδον ἱερώτατον τὴν Ἐκκλησίαν Χριστοῦ εὐωδίασεν, ἡ τῷ ἐρυθήματι τῆς ἀθλήσεως, φοινιχθεῖσα δι' αἵματος, ἡ ἔνδοξος Βαρβάρα, ἥν περ ἐπαξίως μακαρίζομεν.

Θεοτοκίον.

Ἰσωθῆναι πόθον μοι ἐνθεῖς, ὄφις ὁ παμπόνηρος, τῷ Πλαστουργῷ ὡς αἰχμάλωτον ἥρπασε. Διὰ σοῦ δὲ Πάναγνε ἀνακέκλημαι θεωθεὶς ἀληθέστατα, σὺ γὰρ Θεομῆτορ, τὸν ἐμὲ θεώσαντα γεγέννηκας.

Τῆς Θεοτόκου.

Ὠδὴ γ'. Οὐρανίας ἀψῖδος.

Προστασίαν καὶ σκέπην ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε, σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη Πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου, σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας μόνη Πανάχραντε.

www.tezaurliturgic.ro



Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀρρωστείαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον, τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Τῆς Ἁγίας.

Ὠδὴ γ΄. Ἐξήνθησεν ἡ ἔρημος.

Τετρωμένη τοῦ πόθου σου, ὡς Νυμφίου, Δέσποτα, τῷ γλυκυτάτῳ βέλει, ἡ ἀθληφόρος Βαρβάρα, ἅπασαν πατρικὴν ἀθεϊαν ἐβδελύξατο.

Οὐ τρυφῆς ἡ τερπνότης, οὐκ ἄνθος κάλλους πλοῦτός τε, οὐχ ἡδοναὶ νεότητος, ἔθελξάν σε Βαρβάρα ἔνδοξε, τῷ Χριστῷ νυμφευθεῖσαν καλλιπάρθενε.

Πρὸς τελείους ἀγῶνας, οὐδὲν ἐδείχθη κώλυμα, ἀσθενὲς τοῦ θήλεος, οὐ τὸ νέον τῆς ἡλικίας, Χριστὲ, ἀκηράτῳ σου σθένει δυναμούμενον.

Θεοτοκίον

Τὰ τάγματα ἐξέστησαν τῶν ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου, διὸ σε Θεοτόκον πίστει σέβομεν.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς.

Τὸν Νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας, Πανεύφημε, ὅθεν εἰσελήλυθας σὺν αὐτῷ εἰς τοὺς γάμους, τὸ στέφος τῆς ἀθλήσεως παρ᾽ αὐτοῦ δεξαμένη, ἀλλ᾽ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας, Βαρβάρα τὴν μνήμην σου.



Δόξα καὶ νῦν. Θεοτοκίον.

Τῶν Χερουβεὶμ καὶ Σεραφεὶμ ὑπερτέρα, τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς πλατυτέρα, καὶ ἀοράτου κτίσεως καὶ ὁρατῆς, ὤφθης ὑπερέχουσα ἀσυγκρίτῳ συγκρίσει, ὅν εὐρυχωρίαι γὰρ οὐρανῶν οὐ χωροῦσι, ἐν σῇ γαστρὶ ἐχώρησας Ἁγνὴ, ὅν ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Τῆς Θεοτόκου.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Εὐσπλαχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, αναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Τῆς Ἁγίας.

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ἐκ Παρθένου γεννηθεὶς ἐδωρήσω νεάνισι, παρθένοις τὸ φρύαγμα, καταβαλεῖν τοῦ ἀλάστορος, ὅθεν ἡ καλλίνικος Βαρβάρα, τούτου τὸ θράσος κατεπάτησε.

www.tezaurliturgic.ro



Τῷ Σταυρῷ σου τοῦ θανάτου τὴν δύναμιν ἔλυσας, ἐντεῦθεν τοῦ σώματος, Κόρη Χριστὲ ἀφειδήσασα, φέρει γενναιότατα, τοὺς αἰκισμούς ἡ Βαρβάρα στεῤῥοτάτῳ φρενί.

Ἡ Προμήτωρ μηχαναῖς τοῦ δολίου θελχθεῖσα τὸ πρίν, τρυφῆς ἐξωστράκισται, τοῦ παραδείσου Βαρβάρα δὲ, τοῦτον ἐκφαυλίσασα, ἐν οὐρανίῳ νυμφῶνι νῦν αὐλίζεται.

Θεοτοκίον.

Σὲ λιμένα σωτηρίαν καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα. Σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

Τῆς Θεοτόκου.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ἔμπλησον Ἁγνὴ εὐφροσύνης τὴν καρδίαν μου τὴν σὴν ἀκήρατον διδοῦσα χαρὰν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς ἐκ κινδύνων Θεοτόκε Ἁγνὴ, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλύν τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι Ἁγνὴ τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

Τῆς Ἁγίας.

Ὠδὴ ε'. Μεσίτης Θεοῦ.



Θυρίσι τρισί, τὸ λουτρὸν φωτίζεσθαι κελεύσασα, μυστικῶς διέγραψας, βάπτισμα Βαρβάρα, τῆς Τριάδος φωτὶ τῶν ψυχῶν σελασφόρον, ὑπάρχον καθαρτήριον.

Μανίαν δεινὴν, τοῦ πατρὸς ἐκκλίνουσαν Βαρβάραν σχισθὲν, εὐθὺς ὑπεδέξατο ὄρος, ὥσπερ πάλαι τὴν ἀοίδιμον, πρωτομάρτυρα Θέκλαν, Χριστοῦ τερατουργήσαντος.

Τοῦ ὄντως Θεοῦ, πυρωθεῖσα ζήλῳ ψευδωνύμων Θεῶν, εἰς αἰσχρὰ ἐνέπτυσε πρόσωπα, Βαρβάρα ἡ πανεύφημος καταπαίζουσα κόρη, τοῦ δῆθεν κοσμοκράτορος.

Θεοτοκίον.

Δυσώπει τὸν σὸν, Υἱὸν καὶ Κύριον Παρθένε Ἁγνὴ, αἰχμαλώτοις λύτρωσιν, τῆς ἐξ ἐναντίας περιστάσεως, ἐπὶ σὲ πεποιθόσιν εἰρηνικὴν δωρήσασθαι.

Τῆς Θεοτόκου.

Ὠδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Θανάτου καὶ τῆς φθορᾶς ὅς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου Υἱὸν, τῆς ἐχθρῶν κακουργίας με ρύσασθαι.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διὰ παντὸς. Ἐκ φθορᾶς τῶν παθῶν μου ρυσθῆναί με.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

www.tezaurliturgic.ro



Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου, ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς. Ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Τῆς Ἁγίας

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὡς ὑπέσχου σοφίαν δεδώρησαι, Σῶτερ θεοδίδακτον τοῖς σὲ κηρύττουσι, δικαστικοῦ πρὸ βήματος, ἧς Βαρβάρα ἡ μάρτυς ἐμπέπλησται.

Τῶν ἀθέων τὴν πλάνην διήλεγξε, λόγῳ θεοσόφῳ Βαρβάρα ἡ ἔνδοξος, ὑπομονῇ τῶν ἔργων δέ, τῶν τυράννων τὰς φρένας ἐξέστησεν.

Αἰκισμοῖς ἀφειδῶς καταξαίνεσθαι, ράκεσι τριχίνοις εὐτόνως τε τρίβεσθαι, διὰ Χριστὸν ἡ ἄμεμπτος, ἀθληφόρος τὸ σῶμα προδίδοσιν.

Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Κοντάκιον.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα σεμνὴ Ἀθληφόρε, τὰ τῶν εἰδώλων ἔλιπες σεβάσματα· μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα Βαρβάρα, τυράννων οὐ κατέπτηξας, ἀπειλὰς ἀνδρειόφρον, μεγαλοφώνως μέλπουσα ἀεί· Τριάδα σέβω, τὴν μίαν Θεότητα.



Ὁ Οἶκος.

Τὴν νυμφευθεῖσαν τῷ Χριστῷ, διὰ τοῦ μαρτυρίου, Βαρβάραν, συνελθόντες, τιμήσωμεν ἀξίως, ὅπως αὐτῆς ταῖς προσευχαῖς, λύμης ψυχοφθόρου λυτρωθέντες, καὶ λοιμοῦ, σεισμοῦ τε καὶ καταπτώσεως, τὸν βίον ἐν εἰρήνῃ διέλθωμεν, καταξιωθέντες μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων, διάγειν ἐν φωτί, καὶ μέλπειν ἀξίως· Ἐθαυμάστωσας Σῶτερ τὰ σὰ ἐλέη, πᾶσι τοῖς πίστει ὁμολογοῦσι· Τριάδα σέβω, τὴν μίαν Θεότητα.

Μηνολόγιον.

Τῇ Δ' τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ θαυματουργοῦ Βαρβάρας.

Στίχοι.

Ξίφει πατὴρ θύσας σε, Μάρτυς Βαρβάρα.
Ὑπῆρξεν ἄλλος Ἀβραὰμ Διαβόλου.
Βαρβάρα ἀμφὶ τετάρτῃ χερσὶ τοκῆος ἐτμήθη.

Συναξάριον

*Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, τῶν ἀφ' ἡλίου ἀνατολῶν, θυγάτηρ Διοσκόρου τινὸς Ἕλληνος, ἐν ὑψηλῷ πύργῳ παρὰ τοῦ πατρὸς φυλαττομένη, διὰ τὴν ἐπανθοῦσαν αὐτῇ σωματικὴν ὡραιότητα. Παρθένος δὲ οὖσα, καὶ τὸν Χριστὸν σεβομένη, οὐ διέλαθε τὸν πατέρα· γνοὺς γὰρ τὰ κατ' αὐτήν, ἐξ ὧν ἐκεῖνος μέν, ἐπὶ τῷ οἰκοδομουμένῳ λουτρῷ παρ' αὐτοῦ, δύο θυρίδας εἶπε γενέσθαι, ἡ δὲ προσέταξε τρεῖς· καὶ τὴν αἰτίαν ἐρωτηθεῖσα. Ἐπ' ὀνόματι, ἔφη, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ταῦτα οὖν ἀκούσας ἐκεῖνος, εὐθὺς ὥρμησε τῷ ἰδίῳ ξίφει ἀνελεῖν αὐτήν. Ἐκφυγούσης δὲ αὐτῆς, καὶ εἰς διαιρεθεῖσαν πέτραν ὑπεισελθούσης, ἐπεὶ καταδιώκων αὐτὴν ὁ πατὴρ εὗρε, τῶν τριχῶν ἁψάμενος αὐτῆς, παρέδωκεν αὐτὴν τῷ τῆς χώρας Ἡγεμόνι· οὗ κατ' ἐνώπιον ὁμολογήσασα τὸν Χριστόν, καὶ τὰ εἴδωλα καθυβρίσασα, τύπτεται δεινῶς, τὰς σάρκας ξέεται, τὰς πλευρὰς κατακαίεται, καὶ σφαίραις κατὰ κεφαλῆς παίεται· εἶτα τὴν πόλιν γυμνὴ περιάγεται, καὶ τύπτεται, καὶ τὴν διὰ ξίφους δέχεται τελευτήν, αὐτοῦ τοῦ ἰδίου πατρὸς ταῖς οἰκείαις χερσὶν ἀνελόντος· ὅς καὶ λέγεται, μετὰ τὴν ταύτης σφαγήν, ἐκ τοῦ ὄρους κατερχόμενος, κεραυνῷ βληθῆναι, καὶ τὴν ψυχὴν ἀποῤῥῆξαι.*

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου Μοναχοῦ καὶ Πρεσβυτέρου, τοῦ Δαμασκηνοῦ.

www.tezaurliturgic.ro



Στίχοι.

Πλήσας μελῶν γῆν ἡδέων Ἰωάννης,
Κἂν οὐρανοῖς ἄνεισι συνθεῖναι μέλη.

*Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ, ἐκ Δαμασκοῦ τῆς πόλεως, ἐκ γένους περιφανοῦς, καὶ τῇ ὀρθοδόξῳ διαπρέποντος πίστει. Τυχὼν δὲ καὶ φιλαρέτου πατρός, ἐπαιδεύθη πᾶσαν τὴν ἑλληνικὴν ἐγκύκλιον παίδευσιν, καὶ τὸν βυθὸν τῆς θεοπνεύστου Γραφῆς καλῶς ἐξηρεύνησε. Τὸν μονήρη δὲ βίον μετὰ Κοσμᾶ τοῦ μακαριωτάτου, τοῦ συναναστρέφοντος αὐτῷ, γεγονότος δὲ ὕστερον Ἐπισκόπου Μαϊουμᾶ, ὑπῆλθεν. Οὗτοι οὖν ἄμφω παρ' ἑνὸς διδασκάλου ἐξεπαιδεύθησαν, Κοσμᾶ κἀκείνου τοὔνομα, καὶ Ἀσηκρίτης ἐπιλεγομένου, ἐξωνηθέντος παρὰ τοῦ πατρὸς αὐτοῦ, μετὰ καὶ ἑτέρων αἰχμαλώτων. Εἰς ἄκρον δὲ σοφίας ἐληλακότες, τοιούτου διδασκάλου τυχόντες, εἶτα γενόμενοι Μοναχοί, ἐσχόλαζον ἀμφότεροι τῷ Θεῷ.*

*Ὁ δὲ Ἰωάννης, τῷ προεστῶτι τῆς Μονῆς τοῦ Ἁγίου Σάββα ἰδίως παραδοθείς, τὴν μακαρίαν ὑπακοὴν ὑπ' αὐτοῦ ἐδιδάσκετο· ᾧ καὶ ἐμφανισθῆναι κατ' ὄναρ τὴν Ὑπεραγίαν Θεοτόκον λέγεται, καὶ εἰπεῖν (ἐν ὅσῳ εἰσέτι ὁ Ἰωάννης συνῆν τῷ διδασκάλῳ), ἢ μᾶλλον ἐντείλασθαι αὐτῷ, ἐπιτρέψαι τῷ αὐτοῦ μαθητῇ Ἰωάννῃ ὕμνους συνθεῖναι, εἰς δόξαν τοῦ ἐξ αὐτῆς τεχθέντος ἀσπόρως, καὶ καύχημα τῶν ἐκ μέσης καρδίας ὀφειλόντων ταύτην γεραίρειν· ὃ δὴ καὶ πεποίηκε, τὴν ὑπόθεσιν ταύτην λογογραφίᾳ θέμενος.*

*Ἐπίσης οὖν τὴν ἄσκησιν μετελθόντες, ὁ μὲν μακάριος Κοσμᾶς, πολλὰ συγγράμματα τῇ Ἐκκλησίᾳ καταλελοιπώς, ἐν εἰρήνῃ ἀνεπαύσατο. Ὁ δὲ ἀοίδιμος Ἰωάννης, καὶ αὐτὸς τὰ ὅμοια καὶ πλεῖστα διαπραξάμενος, καὶ τῇ τῶν λόγων αὐτοῦ δυνάμει, καὶ τῶν Γραφῶν σοφαῖς ἀποδείξεσι πλεῖστα στηλιτεύσας τὴν δυσσεβῆ τῶν Εἰκονομάχων αἵρεσιν, καὶ πολλὰ συγγράμματα τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ καταλελοιπώς, δι' ὧν σχεδὸν παντὸς τοῦ ζητουμένου γνῶσις ἐναργὴς εὑρίσκεται, ἐν γήρᾳ πίονι καταλύει τὸν βίον, ζήσας ἔτη ἑκατὸν πρὸς τοῖς τέσσαρσι.**

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, Ἐπισκόπου Πολυβότου, τοῦ Θαυματουργοῦ.

Στίχοι.

Ἐπισκοπὴν γῆς ἐκλιπὼν Ἰωάννης,
Ἐπισκοποῦντος πάντα τέρπεται θέᾳ.

*Οὗτος νέος ὢν ἤδη, τρυφὰς ἐμίσει καὶ ἡδονάς, νηστείᾳ δὲ μᾶλλον καὶ σωφροσύνῃ τὸν ἑαυτοῦ κατεκόσμει βίον. Ὅθεν καὶ Ἐπίσκοπος Πολυβότου χειροτονεῖται, πρότερον τοὺς Ἐκκλησιαστικοὺς βαθμοὺς ἐννόμως διελθών. Ἤδη δὲ προστασίαν λαοῦ ἐμπιστευθείς, ἀγῶνας ἀγῶσι προστέθηκε, κόποις τε κόπους. Ἐπεὶ δὲ Λέων ὁ Ἴσαυρος*

* *Ἕτεροι δὲ καταβιβάζουσι τὸν χρόνον τῆς ζωῆς αὐτοῦ εἰς ἔτη ὀγδοήκοντα τέσσερα.*



*ἀναξίως τῶν σκήπτρων τῆς Βασιλείας ἐδράξατο, καὶ κατὰ τῶν Ἁγίων Εἰκόνων βλασφημεῖν ἐπεχείρησεν, οὗτος ὁ ἱερὸς ἀνὴρ ἰσχυρῶς ἤλεγξεν αὐτοῦ τὴν ἀσέβειαν, εἶτα πρὸς τὸ ποίμνιον αὐτοῦ τὴν πίστιν ἐξηκριβώσατο. Τοὺς δὲ Ἀγαρηνούς, τοὺς τὸ Ἀμόριον κατοικοῦντας, θεηλάτως πλήξας, τοὺς Χριστιανούς, οὓς εἶχον αἰχμαλώτους, ἀποχαρίσασθαι αὐτῷ παρεσκεύασε. Καὶ τὸ σῶμα τὸ ἴδιον εἰσέτι καὶ νῦν ἄφθαρτον διετήρησε· καὶ κατὰ τὴν τῆς Πεντηκοστῆς ἡμέραν ἀνιστῶσιν αὐτόν, καὶ τὴν ἀρχιερατικὴν στολὴν ἐνδύουσι, καὶ τῇ θείᾳ Τραπέζῃ προσερείδουσι· καὶ οὕτως ἵσταται ὄρθιος· καὶ ἐν τῷ Συνθρόνῳ ἀναβιβάζουσι, καὶ ὑπὸ δύο στηριζόμενος, διὰ πάσης ἄπτωτος τῆς ἱερᾶς Μυσταγωγίας ἵσταται. Τὰ δ' ἄλλα, ὅσους δαιμονῶντας θεραπεύει, καὶ νόσους ἑτέρας, ἀδύνατόν ἐστιν ἡμῖν γραφῇ παραδοῦναι.*

Τῇ αὐτῇ ἡμέρᾳ ἡ Ἁγία Ἰουλιανὴ ξίφει τελειοῦται.

Στίχοι.

Ἰουλιανὴν ὡς περιστερὰν δέχου,
Εἰ μὴ τάχει τέμνοιτο τρύζουσαν Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ οἱ Ἅγιοι Χριστόδουλος καὶ Χριστοδούλη ξίφει τελειοῦνται.

Στίχοι.

Συνωνυμῶν σοι, παρθένε Χριστοδούλη,
Ὁ Χριστόδουλος, καὶ συναθλεῖ σοι ξίφει.

Ὁ Ἅγιος νέος Ἱερομάρτυς Σεραφεὶμ ὁ Φαναρίου Ἐπίσκοπος, ὁ μαρτυρήσας ἐν ἔτει ͵αχα (1601) σούβλῃ διαπαρείς, τελειοῦται.

Στίχοι.

Ὁ γῆς Σεραφεὶμ Θετταλῶν φὺς ὡς κλάδος, Θεῷ Λόγῳ πρόσεισι ῥείθροις αἱμάτων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Τῆς Θεοτόκου.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

**Σημειοῦται ὅτι Καταβασίαι ψάλλονται: Χριστὸς γεννᾶται δοξάσατε.*

www.tezaurliturgic.ro



Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας, Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ ἥν προστάτιν ἀνέδειξας. Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὅν ἐγέννησας, Μῆτερ ἁγνὴ, δυσώπησον, ρυσθῆναι τῶν πταισμάτων ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας: Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀρρωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας τοῖς κραυγάζουσιν ἔδειξας. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τῆς Ἁγίας.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ὁ γῆν καταλήψεσθαι καὶ ἐξαλείψειν τὴν θάλασσαν τύραννος, εἰκαίως φρυαττόμενος, ὡς παίγνιον πρόκειται, Βαρβάρας κόρης ποσὶ· τοῦτο ἐκνευρίσας γὰρ Χριστὸς, ὥσπερ στρουθίον σαθρὸν ἐδέσμευσεν.

Πληγαῖς ἀφορήτοις σου καταξανθέντος τοῦ σώματος ὅλου τε, βαφέντος ἐν αἱμάτων ροαῖς, λαμπάσιν ὑπέμεινας φλογιζομένη πλευράς, Μάρτυς παναοίδιμε, Χριστῷ εὐχαριστοῦσα, Βαρβάρα ἔνδοξε.



Ὢ τῆς ἀπανθρώπου τε καὶ ἀναλγήτου τυράννων ὠμότητος, καὶ πλείστης ἀθεότητος, μαστοὺς γὰρ τῆς μάρτυρος, ὡς ἐν μακέλλῳ δεινῶς, ξίφεσι κατέτεμνον, ὡς τὸν νοῦν προσερειδούσης τῷ ζωοδότῃ Χριστῷ.

Θεοτοκίον.

Ἁγίων ἁγίαν σε κατανοοῦμεν ὡς μόνην κυήσασαν, Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, Μήτηρ ἀνύμφευτε· πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σου.

Τῆς Θεοτόκου.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν οὐρανῶν.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη, εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου τόκον.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σὲ δοξάζω τὴν Κεχαριτωμένην.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε. Ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Ἁγίας.

Ὠδὴ η'. Κάμινός ποτέ.

Ὤφθη σοι Χριστὸς φωτὶ ἐν ἀπροσίτῳ, ἐγκαθειργμένη, ὦ Βαρβάρα, φρουρᾷ, θαῤῥεῖν προτρεπόμενος, καὶ τοὺς μώλωπας ἰώμενος καὶ χαρμονὴν δωρούμενος. Ὅθεν ἀνεπτερώθης τοῦ σοῦ Νυμφίου τῷ ἔρωτι.

www.tezaurliturgic.ro



Ἄγγελος φαιδρὸς, στολὴν φωτοειδῆ σε, διὰ Χριστὸν γεγυμνωμένην, σεμνὴ Βαρβάρα, ἠμφίεσε καὶ ὡς νύμφην περιήγαγε, τὰ πάθη τῇ ἐσθῆτι γὰρ Μάρτυς συνεξεδύσω, θείαν ἐκστᾶσα ἀλλοίωσιν.

Δέδεικται σοφῶς Χριστὲ ἡ πρόῤῥησίς σου, πεπληρωμένη, πατὴρ τέκνον γὰρ, εἰς φόνον παραδίδωσιν, αὐτουργὸς τε τῆς σφαγῆς γεγονὼς ὁ δείλαιος γεννήτωρ τῆς σῆς Μάρτυρος, οὐρανίῳ ὅθεν πυρὶ κατηνάλωται.

Θεοτοκίον.

Σὺ τὸν τοῦ πατρὸς ἀχώριστον ἐν μήτρᾳ θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες καὶ ἀφράστως ἀπεκύησας, Θεογεννῆτορ Πάναγνε, ὅθεν σωτηρίαν πάντων ἡμῖν ἐπιστάμεθα.

Τῆς Θεοτόκου.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ῥοὴν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα, Παρθένε, Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

Φωτὸς σου ταὶς ἀκτίσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.



Τῆς Ἁγίας.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

Τὴν ἔνδοξον μέλλουσα κομίζεσθαι τελείωσιν, Βαρβάρα διὰ τοῦ μαρτυρίου σου, σὺν Ἰουλιανῇ τῶν στεφάνων μαρτυρικῶς, καταξιουμένη, φωνῆς θείας ἤκουσας, τελειούσης τὰς ἐντεύξεις σου.

Πληρῶν σου τὴν αἴτησιν Βαρβάρα ἀθληφόρε, Χριστὸς τὰς ἰάσεις βραβεύει τοῖς ἐκτελοῦσί σε, πίστει τὴν ἐτήσιον μνήμην ὡς ἀληθῶς, θαλάσσης γάρ ψάμμον τὰ σὰ ὑπερβέβληκεν, εὐκλεῆ τερατουργήματα.

Τῷ σῷ συναφθεῖσα νῦν Παντάνακτι Νυμφίῳ Χριστῷ καὶ ἀστράπτουσα δόξῃ Βαρβάρα θείου φωτός, ἐν οὐρανίοις θαλάμοις τοὺς ὑμνητὰς, τοὺς σοὺς ἐποπτεύεις παθῶν ἀπαλλάττουσα, καὶ προσάγουσα τῷ ζῶντι Θεῷ.

Θεοτοκίον.

Ὡς πόκος Πανάμωμε τὸν ὄμβρον τὸν οὐράνιον, ἐν γαστρὶ δεξαμένη ἡμῖν ἐκύησας, τὸν τὴν ἀμβροσίαν διδόντα τοῖς εὐσεβῶς, αὐτὸν ἀνυμνοῦσι, καὶ σὲ τὴν πανύμνητον, Θεοτόκον καταγγέλλουσι.

Ἐξαποστειλάριον*

Ἐν Πνεύματι τῷ ἱερῷ.

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ δεξαμένη, Βαρβάρα παναοίδιμε, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πίστει προστρεχόντων σοι, τὸν Θεὸν δοξάσουσι, τὸν ἐπὶ πάντων Δεσπότην,

* *Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, προηγεῖται τὸ ἀναστάσιμον Ἐξαποστειλάριον.*

www.tezaurliturgic.ro



ῥῦσαι πάντας κινδύνων, λοιμικῆς ἀσθενείας καὶ ψυχικῶν νοσημάτων.

Θεοτοκίον.

Ἐκύησας Πανάχραντε, τοῦ Θεοῦ Θεὸν Λόγον, τῷ κόσμῳ τὴν σωτήριον, ἐκτελοῦντα πανσόφως, οἰκονομίαν ἀρίστην, διὰ τοῦτό σε πάντες ὑμνολογοῦμεν ἀξίως, ὡς πρεσβεύουσαν τούτῳ, λυτρωθῆναι ἡμᾶς νόσων καὶ παντοίων κινδύνων.

Ἕτερον Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Βαρβάρα Μάρτυς Κυρίου, καὶ καλλιπάρθενε νύμφη, ῥῦσαι λαόν σου καὶ πόλιν, ἐκδυσωποῦσα τὸν Θεόν, ὅπως ῥυσθῶμεν οἱ πάντες, φθορᾶς ὀργῆς καὶ κινδύνων.

Θεοτοκίον

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.





## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ*

*Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ κάτωθι*

*Στιχηρὰ Προσόμοια.**

*Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.*

Μάρτυς Βαρβάρα πανένδοξε, τοῦ ἀνεσπέρου φωτός, δεξαμένη τὴν ἔλλαμψιν, πατρικὴν δυσσέβειαν, θεοφρόνως ἀπέρριψας, καὶ ὡς ἡμέρας θυγάτηρ πάγκαλος, εὑρέθης ἄθλοις τοῦ μαρτυρίου σου. Ὅθεν τοῦ κάλλους σου, ἐρασθεὶς ὁ Κύριος νύμφην αὐτοῦ, μυστικῶς ἠγάγετο, σὲ παμμακάριστε.

Μάρτυς Βαρβάρα πανεύφημε, τρισὶ θυρίσι σαφῶς, τοὺς τεχνίτας ἐκέλευσας, τὸ λουτρὸν φωτίζεσθαι, θεοσόφῳ φρονήματι, ἐξεικονίζουσα τὸ μυστήριον, τῆς ἐν Τριάδι μιᾶς Θεότητος· ἣν πίστει ὕστερον, διομολογήσασα μαρτυρικῶς, πρὸς ζωὴν ἐπέρασας, τὴν αἰωνίζουσαν.

Μάρτυς Βαρβάρα πολύαθλε, πατρὸς φονώσαις χερσί, πατρικῷ ξίφει χαίρουσα, τὴν σφαγὴν ὑπέμεινας, ὡς ἀμνὰς θεοσήμαντος, πατέρα ἔχω ἐγὼ φιλότεκνον, τὸν ἐπουράνιον πίστει κράζουσα, πρὸν ὃν ἐπείγομαι, τετρωμένη ἔρωτι θεουργικῷ, ἵνα τὴν αἰώνιον, εὕρω ἀνάπαυσιν.

Μάρτυς Βαρβάρα ἀήττητε, ταῖς τῶν αἱμάτων ῥοαῖς, παρθενίας φοινίξασα, τὸ λευκόχρουν ἔνδυμα, τῷ Νυμφίῳ παρίστασαι, πεποικιλμένη κόσμῳ τῆς χάριτος, καὶ ἐνεργοῦσα ἀπαύστως θαύματα, τοῖς καταφεύγουσι, τῇ σεπτῇ

* *Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, ψάλλονται εἰς τοὺς Αἴνους ἀναστάσιμα δ' καὶ τῆς Ἁγίας δ'. Δόξα τῆς Ἁγίας. Καὶ νῦν Ὑπερευλογημένη...*

* *Ἀπὸ τὸ βιβλίο τοῦ ἀρχ. Κυρίλλου Κογεράκη, νῦν Μητροπολίτου Ρόδου. "Ἀσματικαὶ Ἀκολουθίαι".*

www.tezaurliturgic.ro



πρεσβείᾳ σου πίστει θερμῇ, καὶ ἀνευφημοῦσί σε, τερπνοῖς ἐν ᾄσμασι.

Δόξα Πατρί. Ἦχος πλ. α'. *Ποίημα Ἱεροθέου Μπραουδάκη.*

Δεῦτε παῖδες Ῥεθύμνης Βαρβάραν τὴν Μάρτυρα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, πνευματικοῖς ἐγκωμίοις σήμερον καταστέψωμεν· καὶ πρὸς αὐτὴν μελῳδικῶς μετὰ πίστεως ἐκβοήσωμεν. Χαίροις ἡ τοῦ πατρὸς τὴν ἀσέβειαν μισήσασα καὶ τὴν ἀγάπην τοῦ Χριστοῦ ὑπὲρ πάντα τοῦ κόσμου τα τερπνὰ προτιμήσασα, χαίροις ἡ τὴν χάριν τῶν θαυμάτων πλουτίσασα, καὶ τοὺς ἀξίους πάσης νόσου ἀπαλλάττουσα, ἀλλ' ὦ παρθένων ἀγλάϊσμα, καὶ Μαρτύρων ἐγκαλλώπισμα, μὴ παύσῃς πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Ἕτερον Δοξαστικὸν ἐκ τοῦ Μηναίου.*

Δόξα Πατρί. Ἦχος πλ. β'.

*Ἰωάννου Μοναχοῦ.*

Ἀθλητικὴν ὁδεύσασα ὁδὸν, προγονικὴν ἐξέφυγες βουλὴν, Βαρβάρα πανσεβάσμιε· καὶ ὡς μὲν Παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες, εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες ἰατρεύειν, τῆς σαρκὸς σαθρὰν λύμην. Ἀλλὰ καὶ ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐκλύτρωσαι, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.



Καὶ νῦν... Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν πρέσβευε Δέσποινα, μετὰ τῆς Ἀθληφόρου καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ἡ γ' καὶ στ' Ὠδή.*

*Μετά τὴν Εἴσοδον, τὰ Ἀπολυτίκια τῆς Ἁγίας.*

Κοντάκιον

Ἡ Παρθένος σήμερον τὸν προαιώνιον Λόγον...

Ἀπόστολος τῆς Ἁγίας· πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ... (Γαλ. γ' 23 - δ'5), ὅν ζήτει τῇ Πέμπτῃ ιε' ἑβδομάδος ἐπιστολῶν.

Ἀπόστολος.

Προκείμενον ἦχος δ'.

*Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*
*Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.*

*Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.*

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ, πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραάμ σπέρμα ἐστὲ καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτως καὶ ἡμεῖς ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

*Ἀλληλούϊα.*

Εὐαγγέλιον· ὁμοίως. *Ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς... (αἱμορροούσης γυναικός).* (Μάρκ. ε' 24 - 34), ὅ ζήτει Δευτέρα ιε' ἑβδομάδος Ματθαίου.



### Μεγαλυνάρια

Χαίροις* προστασία Χριστιανῶν, πόλεως Ρεθύμνης, νυμφευθεῖσα τὸν Ἰησοῦν, Μεγαλομάρτυς, θαυματουργὲ Βαρβάρα, περίσκεπε και σῶζε τοὺς σὲ μακαρίζοντας.

Πατέρα λυποῦσα τὸν δυσσεβῆ, θυγάτηρ ἐδείχθης Βασιλέως τῶν οὐρανῶν, ὑπὲρ οὗ προθύμως, ἀθλήσασα Βαρβάρα, λυτροῦσαι πάσης νόσου τοὺς προσιόντας σοι.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.



* *Ποίημα πρωτ. Χαραλάμπους Κ. Καμηλάκη.*

www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΣΙΣ
## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΒΑΡΒΑΡΑΝ

*Ὑπὸ Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.*

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὅ τὸ Θεὸς Κύριος, καὶ τὸ ἑξῆς:

Ἦχος Δ΄. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς ἀθληφόρος εὐκλεὴς τοῦ Σωτῆρος, καὶ τῶν θαυμάτων ἀνεξάντλητος κρήνη, καὶ βοηθὸς ἡμῶν ἐν περιστάσεσι, πρόφθασον καὶ λύτρωσαι, λοιμικῶν νοσημάτων, καὶ πάσης στενώσεως, καὶ ἀνάγκης καὶ βλάβης, τοὺς ἀδιστάκτῳ πίστει καὶ στοργῇ, ἐξαιτουμένους, Βαρβάρα, τὴν χάριν σου.

Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ....
Ὁ Ν΄. Καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.
*Ἴασαι μάρτυς τὴν συντριβήν μου, Γερασίμου.*

Ὠδὴ Α΄, Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἰάματα βλύζουσα κρουνηδὸν, ψυχῶν θεραπεύεις, καὶ σωμάτων πάθη δεινὰ, τῶν πίστει καὶ πόθῳ προσιόντων, Μεγαλομάρτυς Βαρβάρα τῇ σκέπῃ σου.



Ἀθλήσεως μάρτυς ταῖς ἀστραπαῖς, σκεδάζεις πνευμάτων, ἀκαθάρτων τὸν σκοτασμὸν, καὶ ρῶσιν καὶ χάριν καὶ ὑγείαν, τοῖς ἐν νυκτὶ ἀνατέλλεις τῶν θλίψεων.

Συνοῦσα ἀλήκτως τῷ ποιητῇ ἀπαύστως δυσώπει, παρρησίᾳ μαρτυρικῇ, ἡμᾶς ἐκλυτροῦσθαι Ἀθληφόρε, τῶν ἐν τῷ βίῳ κινδύνων καὶ θλίψεων.

Θεοτοκίον.

Ἀφθόρως τεκοῦσα σωματικῶς, τὸν πάντων Δεσπότην ἀφθαρτίζοντα τὸν Ἀδάμ, κεχαριτωμένη Θεοτόκε, φθοροποιῶν νοημάτων με λύτρωσαι.

Ὠδὴ Γ΄. Οὐρανίας ἀψῖδος.

Ἰαμάτων τὴν χάριν, παρὰ Χριστοῦ εἴληφας, ὅθεν τὰς πολλάς μου ὀδύνας καὶ τὰ συντρίμματα, μάρτυς θεράπευσον, καὶ τῆς ψυχῆς μου τὴν λύπην, εἰς χαρὰν μετάβαλε, Βαρβάρα ἔνδοξε.

Μαρτυρίου τὴν τρίβον, περηφανῶς ἤνυσας, ὅθεν πρὸς ὁδὸν τὴν εὐθεῖαν, ἡμᾶς κυβέρνησον, τῶν ἐντολῶν τοῦ Θεοῦ, ἐξ ἀτραπῶν ἀπωλείας, τῇ προμηθεστάτῃ σου, Βαρβάρα χάριτι.

Ἀσθενείαις βαρείαις, καὶ ἀλγεινοῖς πάθεσι, διὰ παραπτώσεων πλῆθος, δεινῶν ἐτάζομαι, ὅθεν κραυγάζω σοι, τὸν τῆς ὀδύνης μου πόνον, κούφισον πανεύφημε, Θείᾳ σου χάριτι.

Θεοτοκίον.

Ῥυπωθεὶς τῇ κακίᾳ, τὸ τῆς ψυχῆς ἔσβεσα, κάλλος καὶ ἠμαύρωσα Κόρη, πράττων τὰ ἄτοπα σὺ οὖν μὲ λύτρωσαι, τῆς πονηρᾶς συνηθείας, καὶ τῆς μετανοίας μου, τὸ φῶς ἀνάτειλον.

www.tezaurliturgic.ro



Διάσωσον Μεγαλομάρτυς Βαρβάρα, τοὺς σοὺς οἰκέτας, πάσης βλάβης καὶ νοσημάτων καὶ θλίψεων, καὶ τοῖς θερμῶς σε καλοῦσιν ἀεὶ βοήθει.

Ἐπίβλεψον ἐν εὐμενείᾳ....

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος Β΄. Πρεσβεία θερμή.

Θαυμάτων πηγάς, Βαρβάρα ἀναβλύζουσα, προφθάνεις θερμῶς, τοὺς ἐπιβοωμένους σου, τὸ ὄνομα τὸ ἅγιον, καὶ διώκεις λοιμώδη νοσήματα, διὰ τοῦτο βοῶμέν σοι σεμνή· τῆς τούτων ἡμᾶς ῥύμης διάσωζε.

Ὠδὴ Δ΄. Εἰσακήκοα Κύριε.

Τὰς ἐνέδρας τοῦ δράκοντος, ἅς τεκταίνει μάρτυς καθ' ἡμῶν σύντριψον, τῇ ταχείᾳ ἀντιλήψει σου, καὶ τῆς τούτου βλάβης ἡμᾶς ἀπάλλαξον.

Ὑποπέσας ταῖς θλίψεσιν, ὡς παραπικράνας Χριστὸν τὸν εὔσπλαχνον, ἐκ καρδίας ἀνακράζω σοι· λῦσον ὦ Βαρβάρα, τὴν ἀθυμίαν μου.

Σωτηρίαν ἐξαίτησαι, καὶ ἀρρωστημάτων τὴν ἀπολύτρωσιν, καὶ εἰρήνην τε καὶ ἔλεος, τοῖς σὲ ανυμνοῦσι, Βαρβάρα πάνσεμνε.

Θεοτοκίον.

Τῆς ψυχῆς μου τὴν κάκωσιν, ἴασαι Παρθένε τῇ σῇ χρηστότητι, καὶ παθῶν με σκότους λύτρωσαι, τῇ φωτοχυσίᾳ τῆς προνοίας σου.

Ὠδὴ Ε΄. Φώτισον ἡμᾶς.



Ἡ θεοειδής, ἀρωγή σου ἡμῖν γένοιτο, ὥσπερ αὔρα ἀναψύξεως σεμνή, πειρασμῶν ἀποσβεννύουσα τὸν καύσωνα.

Νόσων χαλεπῶν, καὶ ποικίλων περιστάσεων, καὶ δεινῶν ἐπιβουλῶν καὶ ἀναγκῶν, ἀνωτέρους, ὦ Βαρβάρα, ἡμᾶς φύλαττε.

Σκέπη ἀρραγής, καὶ προστάτις καὶ ἀντίληψις, καὶ θερμὴ πρὸς τὸν Χριστὸν καταλλαγή, ἡμῖν ἔσο ἐν τῷ βίῳ καλλιπάρθενε.

Θεοτοκίον.

Ὕψωσον ἡμῶν, τὴν διάνοιαν, Πανάμωμε, ἐξ ὑλώδους προσπαθείας μοχθηρᾶς, ἁγίας ἀναβάσεις Θείου ἔρωτος.

Ὠδὴ ΣΤ΄. Τὴν δέησιν ἐκχεῶ.

Νοσήματα χαλεπά καὶ χρόνια, θεραπεύουσα τῇ σῇ προστασίᾳ τῆς τούτων βλάβης ἡμᾶς ἀνωτέρους, Μεγαλομάρτυς Βαρβάρα διάσωζε, καὶ πρέσβευε τῷ Ποιητῇ, τῶν πταισμάτων ἡμῖν δοῦναι ἄφεσιν.

Τὴν δέησιν τῆς ψυχῆς μου πρόσδεξαι, ὡς θυμίαμα εὐῶδες Βαρβάρα, καὶ δυσωδίας παθῶν ἀκαθάρτων, τὴν μολυνθεῖσαν καρδίαν μου κάθαρον, καὶ τοῦ νοός μου τὰς πολλάς, ἐκτροπὰς ἐπανόρθωσον δέομαι.

Ῥυσθῆναί με τῶν ἐν βίῳ, καὶ παντοίων ἀναγκῶν καὶ κινδύνων, καὶ ψυχικῆς ἀθυμίας καὶ λύπης, τὸν προσιόντα θερμῶς τῇ πρεσβείᾳ σου, τὸν σὸν νυμφίον Ἰησοῦν, ἐκδυσώπει Βαρβάρα ἑκάστοτε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἰάτρευσον τὴν νοσοῦσαν ψυχήν μου, μυστικῇ ἐπισκοπῇ σου Παρθένε, καὶ τὰς τοῦ σώματος παῦσον ὀδύνας, καὶ τῶν πταισμάτων μοι δώρησαι ἄφεσιν· σὺ γὰρ προστάτις μου θερμή, καὶ ἐν σοὶ πεποιθὼς διασώζομαι.

Διάσωσον Μεγαλομάρτυς Βαρβάρα τοὺς σοὺς οἰκέτας, πάσης βλάβης καὶ νοσημάτων καὶ θλίψεων, καὶ τοῖς θερμῶς σε καλοῦσιν ἀεὶ βοήθει.

Ἄχραντε ἡ διὰ λόγου...
Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος Β'. Ταῖς τῶν αἱμάτων σου.

Θαυματουργίαις πολλαῖς διαλάμπουσα, τῶν νοσημάτων ἐξαίρεις τὸν καύσωνα, καὶ τὴν ὑγείαν βραβεύεις τοῖς πάσχουσι, Παρθενομάρτυς Βαρβάρα ἑκάστοτε, διὸ σου τὴν χάριν κηρύττομεν.

*Προκείμενον.*

*Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*
*Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Μάρκον (Ε', 24 - 34), ὅ ζήτει Δευτέρα ιε' ἑβδομάδος Ματθαίου.*

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς καὶ συνέθλιβον αὐτόν. Καὶ Γυνή τις οὖσα ἐν ρύσει αἵματος, ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ. Ἔλεγε γὰρ ἐν ἑαυτῇ, ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι,



σωθήσομαι, καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ, βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· τίς μου ἥψατο; Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ φοβηθεῖσα, καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· θύγατερ, ἡ πίστις σου σέσωκέ σε, ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

*Δόξα. Ταῖς τῆς ἀθληφόρου....*

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*

*Προσόμοιον.*

Ἦχος Πλ. β'. Ὅλην ἀποθέμενοι

Στίχος. Ἐλέησόν με ὁ Θεός...

Νύμφη πανακήρατος, τοῦ Βασιλέως τῆς δόξης, παρθενίᾳ λάμπουσα, καὶ στερρᾶς ἀθλήσεως τοῖς παλαίσμασιν, ἀληθῶς πέφηνας, Βαρβάρα Θεόφρον, διὰ τοῦτο σοῦ δεόμεθα, πάσης στενώσεως καὶ ἐπηρειῶν τοῦ ἀλάστορος, λυμαντικῶν παθήσεων, καὶ φθοροποιῶν τε μολύνσεων, ἀβλαβεῖς συντήρει, ἡμᾶς τοὺς προσιόντας σοι πιστῶς, καὶ τὴν θερμὴν σου βοήθειαν αἰτοῦντας ἑκάστοτε.

Ὁ Ἱερεύς

*Σῶσον, ὁ Θεὸς τὸν λαόν σου... Ἐλέει καὶ οἰκτιρμοῖς...*

Ὠδὴ Ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

www.tezaurliturgic.ro



Βοηθοῦσα μὴ παύσῃ, τοῖς ἐν πόνοις τελοῦσι καὶ περιστάσεσι, καὶ ῥῶσιν καὶ ὑγείαν, καὶ ἄφεσιν πταισμάτων, τῇ πρεσβείᾳ σου νέμουσα, Βαρβάρα νύμφη Χριστοῦ, τοῖς σὲ ὑμνολογοῦσι.

Ἡ δοθεῖσά σοι χάρις, ὑπὲρ ἥλιον πᾶσι τῆς προστασίας σου, ἁπλοῦσα τὰς ἀκτῖνας, παθῶν τὴν σκοτομήνην, καὶ δεινῶν τὴν ἐπίλυσιν, διασκεδάζει ἀεί, Βαρβάρα καλλιμάρτυς.

Νεκρωθεὶς τῇ κακίᾳ ἀρρωστήμασι πλείστοις νῦν κατατρύχομαι, ἀλλ' ὦ Μεγαλομάρτυς, ἐπίφανον ὑψόθεν, τὴν θερμήν σου ἀντίληψιν, καὶ τῶν πολλῶν μου κακῶν, ῥυσθήσομαι ἐν τάχει.

Μολυσμῶν ἀκαθάρτων, καὶ παθῶν ἀνιάτων, ἡμᾶς ἀπάλλαξον, χαρὰν καὶ εὐφροσύνην, καὶ πᾶσαν ἀφθονίαν, τῶν καλῶν πρυτανεύουσα, Βαρβάρα νύμφη Χριστοῦ, τοῖς σὲ ἀνευφημοῦσι.

Θεοτοκίον.

Ὀμβροφόρε νεφέλη, τὸν σωτήριον ὄμβρον σὺ ὑετίσασα, κατάρδευσον τὸν νοῦν μου, ἀϋλοτάτοις ῥείθροις μητρικῆς σου χρηστότητος, εὐλογημένη Ἁγνή, ἵνα σὲ μεγαλύνω.

*Ὠδὴ Η'. Τὸν Βασιλέα.*

Ὕδασι θείοις, τῆς σῆς λαμπρᾶς προμηθείας, τῶν παθῶν ἡμῶν κατάσβεσον τὴν φλόγα, ἵνα σὲ τιμῶμεν Βαρβάρα Ἀθληφόρε.

Γενοῦ μοι Μάρτυς, καταφυγὴ ἐν ἀνάγκαις, ἀντίληψις ἐν λυπηροῖς τοῦ βίου, καὶ ἐν τοῖς κινδύνοις, προπύργιον Βαρβάρα.



Ἔχουσα Μάρτυς, πλουσίαν χάριν Θεόθεν, ἐνεργεῖς ἀεὶ ἐν θαύμασιν ἰάσεις, καὶ δεινῶν ἐξαίρεις ἡμᾶς τοὺς σοὺς οἰκέτας.

Ῥείθροις ἀΰλοις, τῶν δωρημάτων σου Μάρτυς, ἐναπόπλυνον τὰ ἕλκη τῆς ψυχῆς μου, καὶ ὑγείαν δός μοι, τῷ πάσχοντι ἀθλίως.

Θεοτοκίον.

Ἁγνὴ Παρθένε, καθάγνισον τὴν ψυχήν μου, καὶ καταύγασον τὸν νοῦν μου τῇ δόξῃ, ὡς ἂν ἐκτινάξω τὸν κόρον τῆς ἀπάτης.

*Ὠδὴ Θ'. Κυρίως Θεοτόκον.*

Σωμάτων ἀσθενείας καὶ τὰς καχεξίας τὰς ἀνιάτους ἴασαι ἑκάστοτε, τῶν προσιόντων Βαρβάρα τῇ προστασίᾳ σου.

Ἰσχὺν τὴν τοῦ Βελίαρ, θραῦσον Ἀθληφόρε, τὴν καθ' ἡμῶν κινουμένην καὶ αἴτησαι, τὴν τῶν πταισμάτων Βαρβάρα ἡμῖν συγχώρησιν.

Μεγίστη σου ἡ χάρις· πάντας γὰρ προφθάνεις, τοὺς προσφωνοῦντας τὴν κλῆσίν σου ἔνδοξε, καὶ βοηθείας ὀρέγεις χεῖρα τοῖς πάσχουσι.

Ὁδὸν με πρὸς εὐθεῖαν, ἕλκυσον Βαρβάρα, ἐκ τῶν βαράθρων τῆς πλάνης καὶ σύντριψον, τὴν κατ' ἐμοῦ τοῦ δολίου μανίαν δέομαι.

Θεοτοκίον.

Ὑψίστου Θεῖε Θρόνε, Κεχαριτωμένη, ἀπὸ κοπρίας παθῶν με ἀνύψωσον, πρὸς ἀρετῶν ἀναβάσεις τῇ σῇ χρηστότητι.

www.tezaurliturgic.ro



*Τὸ Ἄξιόν ἐστιν, καὶ τὰ Μεγαλυνάρια.*
*Ὁ ἱερεὺς θυμιᾷ τὸ Θυσιαστήριον καὶ τὸν λαόν.*

Χαίροις Ἀθληφόρε πανευκλεής, παρθένων ἡ δόξα καὶ Μαρτύρων ἡ καλλονή· χαίροις ἰαμάτων, ἡ πολυχεύμων κρήνη, Βαρβάρα τοῦ Σωτῆρος νύμφη περίδοξε.

Χαίροις* τῆς Ρεθύμνης θεία φρουρὸς καὶ τῶν σπουδαζόντων ἡ θερμοτάτη ἀρωγός, χαίροις ἡ πηγάζουσα ἰάσεων τὰ ῥεῖθρα Βαρβάρα θαυματοφόρε τοῖς σοὶ προστρέχουσι.

Τὴν μεγαλομάρτυρα τοῦ Χριστοῦ, τὴν σεμνὴν παρθένον, ἀσθενούντων καταφυγήν, τὴν ἐκ Νικομηδείας καὶ Βιθυνίας χώρας, Βαρβάραν τὴν ἁγίαν πάντες τιμήσωμεν.

Ἄνθος πανευῶδες καὶ εὐθαλὲς, ἐκ ρίζης φυεῖσα ἀκανθώδους τῆς ἐν Χριστῷ, ὀσμῆς διαπνέεις, τὴν εὐωδίαν κόσμῳ, ἀθλήσεως ἀγῶσιν ὦ καλλιπάρθενε.

Τοῦ πατρὸς λιποῦσα τὸ ἀσεβὲς, νύμφη ἀνεδείχθης τοῦ Σωτῆρος περικαλλὴς, καὶ αὐτῷ ὡς προῖκα πολύολβον προσάγεις, ἀθλήσεως τοὺς πόνους Βαρβάρα ἔνδοξε.

Ὥραν παριδοῦσα νεανικὴν, καὶ πλοῦτον καὶ δόξαν καταλείψασα ὡς φθαρτὰ, τὸν Χριστὸν ἐξ ὅλης ἠγάπησας καρδίας, καὶ τούτῳ προσηνέχθης στεροῖς παλαίσμασι.

Τὴν λαμπάδα πάντες τὴν φαεινὴν, καὶ τῆς Παρθενίας, τὸν ἀσύλητον θησαυρόν, τὴν νύμφην Κυρίου, καὶ ἄσπιλον ἀμνάδα, Βαρβάραν τὴν ἁγίαν, ὕμνοις τιμήσωμεν.

* *Ποίημα πρωτ. Χαραλάμπους Κ. Καμηλάκη.*



Πάθη θεραπεύουσα χαλεπὰ, ἐξαίρετον χάριν, ἐκομίσω παρὰ Χριστοῦ, τὰς λοιμώδεις νόσους, ἐλαύνειν ἀνενδότως, ἐξ ὧν ἡμᾶς τῆς λώβης Βαρβάρα φύλαττε.

Πᾶς τις ὁ προστρέχων τῷ σῷ ναῷ, κομίζεται τάχος τὰ αἰτήματα συμπαθῶς· ὅθεν ἡμῶν δέχου Βαρβάρα τὰς δεήσεις, καὶ πλήρου τὰς αἰτήσεις ἐκδυσωποῦμέν σε.

Πᾶσαι τῶν Ἀγγέλων.
*Τὸ τρισάγιον. Ἀπολυτίκια.*

*Ἀπολυτίκιον ἦχος πλ. α΄.*
Τὸν συνάναρχον λόγον.

Δεῦτε παῖδες Ῥεθύμνης ὕμνοις τιμήσωμεν τὴν πανεύφημον νύμφην Χριστοῦ καὶ μάρτυρα, τὴν ἀντίληψιν ἡμῶν καὶ βοήθειαν, ἐκβοῶντες πρὸς αὐτὴν μετὰ πίστεως θερμῆς, Βαρβάρα Χριστοῦ ἁγία, πρεσβεύουσα μὴ ἐλλίπῃς ὑπὲρ τῶν δεδμημένων τὸ ἱερὸν Σου τοῦτο τέμενος.

Ἦχος β΄.

Βαρβάραν τὴν ἁγίαν τιμήσωμεν· ἐχθροῦ γὰρ τὰς παγίδας συνέτριψε, καὶ ὡς στρουθίον ἐῤῥύσθη ἐξ αὐτῶν, βοηθείᾳ καὶ ὅπλῳ τοῦ Σταυροῦ ἡ πάνσεμνος.

*Εἶτα ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς:*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Μάρτυς ἀθληφόρε τοῦ Χριστοῦ, ἔνδοξε Βαρβάρα θεόφρον, ἀξιοθαύμαστε, πάσης περιστάσεως, δεινῆς ἀπάλλαξον, καὶ κινδύνων καὶ θλίψεων, τῶν ἐπερχομένων, τοὺς τὴν σὴν ἀντίληψιν, ἐπιζητοῦντας θερμῶς· σὺ γὰρ βοηθὸς ἐν ἀνάγκαις, καὶ πρὸς τὸν Χριστὸν μεσιτεία, πέλεις τῶν πιστῶς ἀνευφημούντων σε.

www.tezaurliturgic.ro

## ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΗΝ ΑΓΙΑ ΒΑΡΒΑΡΑ*

*Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ.*

Σὺ δέ μοι ἡ Χριστοῦ ἀμνὰς καὶ περιστερὰ καὶ νύμφη, καὶ πᾶν εἴτι οὖν ὄνομα καλὸν, καὶ χαρίεν, καὶ τίμιον, Βαρβάρα τοῦ Χριστοῦ στεφανῖτιν καὶ μάρτυρα.

**Χαῖρε,** τῶν ἀγώνων διαδραμοῦσα τὸν δίαυλον.

**Χαῖρε,** τῶν ἄθλων ἐπάξια κομισαμένη τὰ ἔπαθλα.

**Χαῖρε,** ἧπερ πολλὰ τὰ βραβεῖα ὑπὲρ πολλῶν τῶν ἀγωνισμάτων ὀφείλεται.

**Χαῖρε,** ἡ τῶν ἐμπαθῶν τῆς σαρκὸς σκιρτημάτων λογισμῷ ἐπικρατήσασα σώφρονι.

**Χαῖρε,** ἡ τοῦ σώματος αἰσθήσεις, ἐν ἡλικίας νεότητι, πρεσβυτικῶς καὶ ἐμφρόνως παιδαγωγήσασα.

**Χαῖρε,** ἡ τὴν παρθενίαν, καὶ πρὸ τοῦ μαρτυρίου, φυλάξαι τῷ Χριστῷ καθυποσχόμενη ἄχραντον καὶ ἀμίαντον.

**Χαῖρε,** ἡ τὸ σωματικὸ κάλλος τοῖς πάθεσι μὴ ῥυπώσασα, ἀλλ' ἀνέπαφον τῷ Ποιητῇ ἀναθεῖσα καὶ παραθεῖσα.

**Χαῖρε,** ἡ τῷ πύργῳ, ὡς ἐν ἀσφαλεῖ φρουρίῳ καὶ παρθένων εὐκτηρίῳ πυκνάς καὶ ἀκραιφνεῖς τῷ Θεῷ προσευχὰς ἀναπέμπουσα, καὶ τῇ ἀπλανεῖ τῶν ὄντων θεωρία πρὸς τὸν Ποιητὴν ἀναχθεῖσα, καὶ τοῦ μόνου ὄντως καλοῦ τε καὶ ἐραστοῦ ἀπλήστως κατατρυφήσασα.

* *Ἰωάννου τοῦ Δαμασκηνοῦ, Ἐγκώμιον..., μν. ἐργ., Patrologia Graeca, τόμ. 96, στ. 808.*



**Χαῖρε,** ἡ ἐν τῷ σωματικοῦ ῥύπου καθαρτηρίῳ λουτρῷ συμβολικῶς τὴν Τριάδα διὰ τῆς τῶν θυρίδων τριπλῆς φωταγωγίας ἐξεικονίσασα καὶ τὸ τῇ τριττῇ φωτογνωσίᾳ ψυχῶν μυστικὸν καὶ σωτήριον τυπικῶς διαγράψασα βάπτισμα.

**Χαῖρε,** ἡ εὐθὺς τρανότατα τὴν τῆς ὁμοουσίου Τριάδος πίστιν θεολογικῷ διομολογήσασα στόματι.

**Χαῖρε,** ἡ τὸν ἕνα τῆς Ἁγίας Τριάδος, διὰ τὴν ἡμετέραν ἐνανθρωπήσαντα σωτηρίαν, ἐν παρρησίᾳ κηρύξασα.

**Χαῖρε,** ἡ πλοῦτον καὶ τρυφὴν, καὶ σηρῶν νημάτων ὑφάσματα, καὶ λίθων πολυτίμων, καὶ μαργαρίτων χρυσοκολλήτων, καὶ πᾶσαν σωματικὴν εὐκοσμίαν καὶ ὡραιότητα, καὶ τῶν ἐπιγείων τερπνοτήτων ἀπόλαυσιν διαπτύσασα, καὶ τούτων ἀνταλλαξαμένη αἰώνια ἀγαθὰ καὶ ἀκήρατα, τὰ ὀμμάτων ὅρασιν, καὶ ὤτων ἀκοὴν, καὶ πᾶσαν αἴσθησίν τε καὶ νόησιν ὑπεραίροντα.

**Χαῖρε,** ἡ τὸ τῆς ἡλικίας τρυφερόν καὶ τὸ τοῦ θήλεος ἀσθενὲς γενικῶς καὶ ἀνδρικῶς στερεώσασα συντόνῳ φρονήματι.

**Χαῖρε,** ἡ πρὸς τοὺς τῶν κολάσεως αἰκισμοὺς μὴ δειλανδρήσασα, θαρσαλέως δὲ μᾶλλον ἑαυτὴν ἐπιδροῦσα παντοίοις βασανιστηρίων εἴδεσι καὶ στρεβλώσεσι.

**Χαῖρε,** ἡ ἐν σαρκὶ διατρίβουσα Χριστοῦ τὴν δόξαν ἰδεῖν ἠξιωμένη, ὡς ἐν τῷ ὄρει τῶν μαθητῶν οἱ πρόκριτοι, σὺν Ἠλίᾳ καὶ Μωσῇ τεθεαμένοι, προσηκόντως ἐμακαρίσθησαν.

**Χαῖρε,** ἡ τῶν μαστίγων τὰς ἀλγηδόνας, καὶ σιδήρων καταξέσεις, καὶ τραχυτάτων τριχίνων ὑφασμάτων ἐκτρίψεις καὶ αἱμάτων ῥοὰς, καὶ πυρὸς φλογισμοὺς, καὶ μελῶν ἐκτομάς, καὶ γυμνὴν ἐκπόμπευσιν, καὶ κεφαλῆς καὶ ζωῆς ὑφαίρεσιν διὰ Χριστὸν ὑπομείνασα, ἵνα τὸ σῶμα λοιπὸν λάβῃς ἀθάνατον, ἀφθαρσίας μαρμαρυγὰς ἀποστράπτον, καὶ δόξης ἠμφιεσμένον στολὴν ἄφραστον καὶ ἀνεκλάλητον.

***Χαῖρε μάρτυς, ἀοίδιμε.***